Ακαδημία Αθηνών / Academy of Athens

**τέρψις 1.** Τρέψη/τροπή, change/turning, Ἡράκλειτος 77 *ψυχῇσι ... τ έ ρ ψ ι ν ἢ θάνατον ὑγρῇσι γενέσθαι* **2.** Τέρψη/ἀπόλαυση, delight/pleasure, Δημόκριτος 146 *αὐτὸν ἐξ ἑαυτοῦ τὰς τ έ ρ ψ ι α ς ἐθιζόμενον λαμβάνειν* 188 *ὅρος συμφόρων καὶ ἀσυμφόρων τ έ ρ ψ ι ς καὶ ἀτερπίη* 191.2 *ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τ έ ρ ψ ι ο ς καὶ βίου συμμετρίῃ* 194 *αἱ μεγάλαι τ έ ρ ψ ε ι ς ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται* 235.9 *οὐδὲν ἐν αὐτοῖσι χρηστόν ἐστιν ἄλλ' ἢ τ έ ρ ψ ι ς βραχεῖα.*

**τετραγωνισμός.** Τετραγωνισμός, squaring/quadrature, Ἀναξαγόρας Α 38 (DK II 14,34) *τὸν τοῦ κύκλου τ ε τ ρ α γ ω ν ι σ μ ό ν.*

**τετραίνειν.** Διατρυπῶ, pierce, Ἐμπεδοκλῆς 84.9 *⟨αἳ⟩ χοάνῃσι δίαντα τ ε τ ρ ή α τ ο θεσπεσίῃσιν* 100.3 *καί σφιν ἐπὶ στομίοις πυκιναῖς τ έ τ ρ η ν τ α ι ἄλοξιν.*

**τέτυκται (τεύχειν).** Ἐπιτυγχάνεται/ὑπάρχει, it is achieved/it exists, Ξενοφάνης 34.4 *δόκος δ' ἐπὶ πᾶσι τ έ τ υ κ τ α ι.* || Ἐμπεδοκλῆς 114.2 *μάλα δ' ἀργαλέη γε τ έ τ υ κ τ α ι ἀνδράσι καὶ δύσζηλος ἐπὶ φρένα πίστιος ὁρμή.*

**τεῦχος.** Ἀγγεῖο/δοχεῖο, vase/pot, Ἀρχύτας 1.23 *ὥσπερ οὐδ' ἐς τὰ σύστομα τῶν τ ε υ χ έ ω ν.* Πρβλ. *ἀγγεῖον.*

**τέχνη 1.** Τέχνη/καλλιτεχνία, art/artistry, Ἐμπεδοκλῆς 23.2 *ὡς δ' ὁπόταν γραφέες ἀναθήματα ποικίλλωσιν ἀνέρες ἀμφὶ τ έ χ ν η ς ὑπὸ μήτιος εὖ δεδαῶτε* **2.** Τέχνη/δεξιοσύνη, craft/skillfulness, Ἀναξαγόρας 21b *ἐμπειρίᾳ δὲ καὶ μνήμῃ καὶ σοφίᾳ καὶ τ έ χ ν ῃ* Δημόκριτος 59 *οὔτε τ έ χ ν η οὔτε σοφίη ἐφικτόν, ἢν μὴ μάθῃ τις* **3.** Τέχνη/ἐπιστήμη, craft/science, Δημόκριτος 157 *τήν τε πολιτικὴν τ έ χ ν η ν μεγίστην οὖσαν ἐκδιδάσκεσθαι* Ἀρχύτας 4.2 *καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τ ε χ ν ῶ ν καὶ πολὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γεωμετρικᾶς ἐναργεστέρω πραγματεύεσθαι ἃ θέλει.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ